


Epithalamium
in nuptiis
Nic: Hammerii
&
Doroth: Hemmingii
1564.










BIBLIOTHECA REGIA
HAFNIENSIS

EPITHALAMIVM IN NVPTIIS HONESTISSIMI

VIRI, PIETATE AC ERVDITIONE PRAESTANTIS M. Nicolai Hammerij Coronensis: & castissimæ uirginis Dorotheæ, natæ patre clarissimo ac eruditissimo D. Doctore Nicolao Hemmingio, Sacrosanctæ Theologiæ Professore in inclyta Academia Haffniensi: Scriptum

A

MATTHIA IOHANNE
Mœonio.



Ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί
Αὐτοὶ δ᾽ ἁμαρτάνοντες οὐ γινώσκομεν.

VVITEBERGÆ EXCVDEBAT IOHANNES
CRATO, ANNO M.D.LXIIII.



EPITHALAMION.

Ἀρχομένῳ θάλαμον μελεκδέα νυνὶ ἀείδειν
μοῦσαι Πιερίδες, καὶ Ὀλυμπίου ἡδέα τέκνα
τέκνα Διὸς σιβαροῖο μελίφρονα δ' ἐξ Ἑλικῶνος
Δεῦτε πάρεστε: καὶ ἐπευχομένην ἐπιδέρκετε φωνὴν
λισσομένοιο, δ' ἐμὸν ταχέως κρήνατ' ἐέλδωρ.
Μέλψον ὁμοφθόγγῳ χορὲ ἀγλαὲ ἀνθερεῶνι
θεσπιάδων, προσπτυξαμένων μυθώδεα μολπὴν
ἡμετέρας καὶ εὐχὰς δεξάσθω Φοῖβος Ἀπόλλων
Δόσθω θάρσος ἀδείμαντον φρεσὶν, ὡς ἀναμέλπειν
Αἶψα δύνωμαι, ἀγαλλόμενος, θαλαμηπόλον εὐνήν.
Τὸν μὲν Ἄρην κρατερὸν, βροτολοιγὸν, τειχεσιπλήτην
κλυτὸς Ἀχαιῶν τῶν πολεμιστῶν γράψεν Ὅμηρος:
Ἄλκιμα Ῥωμαῖος συνετάξατο τεύχεα Μάντις
Αἰνείου μεγαλήτορος ἠμὲν χαλκοχίτωνος:
πνεύμασι παυλάζοντες ἀπείρονα δόγματα μάντες
Μυθοπολεύσαντες, γλυκεροῖς εἰρήκασι ῥυθμοῖς:
Ἀλλά δὲ ἡμεῖς μυστιπόλου διαγνώσεος ὀμφὴν
τὴν ἄρα ὑψίστοιο θεοῦ νημερτέα φωνὴν,
γλώττῃ μελψαμένῃ οἵμοις ἀγορεύσομεν ἤδη:
καὶ περὶ θεσπεσίου κηρύξομεν ὦκα ἐφετμῆς,
ἥν περ ἐπεστήριξε κατ' εὔδενδρον παράδεισον
Παμμεδέων βασιλεὺς πανυπέρτατα δώματα ναίων.
Τηνίκα καλλίστων τεχνήματα φαίδιμα πράγων
Αὐτοδαὴς ἔκτισεν ἄναξ κόσμοιο μονάρχος,
τοὺς ἅμα κηριφάτους ποίησε βροτοὺς ἐπὶ γαίης,
τῆς δὲ θεοπνεύστου σοφίας παλάμαις ἀμολώτοις:
ἡνίκα τοῖν προγόνοιν ἡμῶν ἐπεθήκατο θεσμὸν
πίστιος ἀῤῥαγέος, γλυκερῆς σημήϊον εὐνῆς.
ὥστε μία σὰρξ ἀμβροσίῳ κλιθέντε γενοίσθην:
Ὅττι μερισθέντ' οὐ δύο πνεύμαθ' ἑνός δ' ἐπὶ χρωτὸς,
Ἀλλὰ συλλαξομένω διανοίας ἐννάδα πάντῃ:
Ταυτὸν ἐν ἀλλήλοιν, πράττοντ', ἐθέλοντ', νοοῦντε.
Σῶσε γὰρ ἄνθρωπον θεὸς ἄμβροτος αὐτογενέθλος.
Δώροις παντοτέλεσιν ἑὴν ζαθεὴν διὰ γνώμην:

A 2 Νῷ

Νῷ μὲν πάντα φρονοῦντι καλῶς κοσμήσατο ὀρθῶς,
πνεῦμα καὶ ἀρτιγόνου βλαστήματος ἔπλετο εἰκὼν.
Ἀμβρόσιος ἠ' ἐναλίγκιος ὑψιμέδοντος ἄνακτος.
Εἶτα φρονηθέντων καθαρὰν ἐπεθήκατο βουλὴν,
πίσυρα πάντα συνοργοῦσαν μελετήματι γνώμης,
κρίματος ἀρχομένην μηδ' ἀντιδίην διανοίας.
λοιπὸν, ἐπέστησεν δύναμίν τε μένος τε κράτος τε
γυίων ἀμμοίροιν χαλεπῶν φαύλων τε μεριμνῶν.
Ου γὰρ φθειρομένῳ κατὰ νοῦν ἠδ' ἦτορος ἀκμήν.
μηδὲ θέλημ' ἀσάθμητον ἢ ἀκάθεκτον ἔχοντε.
Ναίχ' οὖν ἀγλαὰ δῶρα θεοῦ λέξειας ἅπαντα
ὧν ἄρα κοσμηθέντ' ἄμφω κατὰ τάγματα ἤστην.
Ἀλλ' ἐπεὶ ἀντὶ ἑοῦ τεχνήμονος ἡμαρθήτην,
Δαίμονος οἰστρηθέντ' ἀπαταῖς δηλήμονος ἀνδρῶν:
Αὐτίκα ἠριπέτην αἰδωνῆϊ προϊάψειν
ὅσσους σαρκώδης κε γαμήλιος ἤροσεν εὐνή.
ὁππότε κοίρανος αὐτοδίδακτος ἀλήματος ἔσκεν,
ἡ μὲν ἀλιτροσύνην λικάνοιο θελήματος ἔγνω,
θεσπεσίων τ' ἀνόμημα ἀτάσθαλον εἴδε θεμίστων:
Ουκ ἐδύναντο δίκην ἢ πληγὰς ἐξαλέασθαι.
μή ποτε ὡς πάρος ἔζωον μάκαρές τ' ἀμίαντοι,
Νόσφιν ἄτερ κακίας καὶ γυιοκόρων μελεδώνων.
ἦν δὲ χολωσάμενος κομιδῆ κε λεχώϊος εὐνῆς
παμβασιλεὺς ἐπιταξάμενος πολλ' ἄλγεα λυγρά,
τῶ, γὰρ ἀπείρονα κήδεά γ' αὐτοὺς ἔνθα καὶ ἔνθα
τούς τε γάμοισι συναινοῦντας πολὺν ἀμφεκάλυψεν.
Αὐτάρ δ' ἀκραιφνὴς κυρίοιο γαμήλιος ὀμφὴ
τὴν κραδίην μερόπων ὀδυνήφορον ἔμφρονι μύθῳ
φαιδρύνει καὶ ὁμῶς τὰς γυιοκόρους μελεδῶνας
τοῖς μὲν θεσπεσίοισι λόγοις ταχέως ἀναπαύει:
ὅττι συναπτέμεν ἄμφω ἐνὶ ξυνήονι θεσμῷ
Ἀῤῥήκτοις καὶ ἀμωμήτοισι νόμοις ἐκέλευσεν.
Εὔχεσιν εἶτ' ἄρα εὐκελάδοις δαίδηλεν ἅπαντας
Νωμελέως ἀπολησομένοισι γαμεῖν μεμαῶτας.
τοὺς γὰρ ἀειμνήστοις ἀγαθοῖς χαριτώσατο πάμπαν
Ἀνθηρῷ ἐν εὐθαλέϊ ζῶντας παραδείσῳ,

Μωσέως

μωσέος ὡς ἐθυμόθροος ἐυκηρύξατο φωνή.
καὶ ΛΟΓΟΣ ἐυψιγγύεθλος ἄρ' αὐτορύτοιο θεοῖο
μαρτυρίην νημερτέα τῇδε κατα στάσι ἄφνω,
τὴν μετὰ τοῦ πατέρος βουλὴν ἄρχοντος ἕκαστα,
ἄπνοα καὶ πνείοντ' ἐπιλέξατο θέσκελος υἱός,
στηρίξας ταχέως γενετῆρος ἀληθέα γνώμην.
πνεῦμα κατεξῆς ζωαρκὲς δ' ἅγιόν τε καὶ ἁγνὸν
εὖ μὴν τόν γε γάμοιο νόμον δοκίμαζεν ἀμώμου
Αὐτοδινὲς προσπτυξάμενον πανθελγεῖ φωνῇ
τοὺς ἄρα πίστιος ἀῤῥαγέος κρατεροὺς πολίτας:
ἤτοι τῶν δι' ἔπων κε θεοπνεύστοιο θέμιστος.
ἢ μόνον ὡς Παῦλος θεοδινεὶς ἔννεπε κῆρυξ:
ταύτης ἁρμοδίην συναρῆς νὺ συνωρίδ' ὑπάρχειν
Εἰκόνα τοῦ λαοῦ θεοδέγμονος, ἐν πραπίδεσσι
χεύματος ἀϊδίων ἀγανοῦ μεμελημένου αὐδῶν.
Αἴκεν ἀμοιβαδὸν ἀντιτύποιο μίμημα τεθεῖναι
πνευματικῶς χριστοῖο μισανθρώποιο φαείνειν,
θεσμὸν ἄδαστον ἀεὶ μεθ' ἑῇ ἐκκλησίᾳ ἁγνῇ.
ὡς πολυκυδήεις βασιλεὺς ἐν ὕπνῳ γε καθεύδειν
ἀνδρ' ἀρτικτισθέντα καλὴν ἐπλάττετο θῆλυν
ὀστοῦν ἐκ πλευρᾶς περικαλλέος ἐξαιρήσας:
οὕτω σαρκοφόρος πατέρος θεοῦ υἱὸς ἐχέφρων
σύζυγον ἀχράντων ἀσπάζεται, ὡς ἄρα νύμφην,
αἱματοειδέος ἐμμελέως λοετροῖο καθαίρων.
ὥς κεν ἄωρ μνηστὴ πινυτοῖς γεγαυῖα τοκεῦσι
τοὺς γεννήσαντας μὴν ἑοῖο λιποῦσα γέροντας,
κολλᾶται σεμνῷ γαμέτῃ ἢ ἀγαπητῷ ἀκοίτῃ:
Οὕτω ἐρισθενέος τὰ ἀνήροτα τέκνα γονῆος
ἐξαρνεῖσθαι ἅπαν ταχέως θεράπευμα προσήκει
Ἀντί γε τῆς διδαχῆς χριστοῖο τεταγμένον ὄντως.
ὑμετέροις πραπίδεσσι μόνον λαοσσόος αὐδὴ
χεύμασιν ἀενάοις νύμφου κλάγξειε θυηλαῖς.
τοίνυν δέμνιον ἁγνῆς παιδοτόκον συναλοιφῆς,
Αἰνίζοιντο λίαν κελάδοις ὕμνοισι σέβοιντο,
ὀσσατίοισι μέμηλεν ἀειζώοντος ἀφετμὴν
ἄρτιον, ἀχράντοις πραπίδεσσι θεοῖο φυλάττειν,

πνεῦμα γὰρ ἀΐδιον φρενὰς εὐσεβέων προσελαύνοι,
αἴκε προξώσαιντο θεουδέσι πάντες ὀΐστοις,
ὅσσατίους σωτῆρος ἁμῶν βασιλεία ἴδεσκε
χριστοῦ ἀεὶ βασιλεύοντος καὶ σκῆπτρον ἔχοντος:
ὡς πολυκυδήεντα θεὸν διαγνῶναι ἄμωμον,
Νοῦν καθαρὸν θ᾽ ἁγνόν θ᾽, ὁσίων μὲν τερπόμενόν τε
Εργασίμων, ἅμα εὐχωλῶν χρήζοντα ἀμέμπτων.
ὥσπερ ἐπουρανίων βασιλεὺς ἀρχηγὸς ἀδύτων
ἰλαδὸν αἰδοῖος καὶ ἀπέλεθρον ῥυταριάων
ἠλιθίων χωρίζετ᾽ ἀεὶ πολύφοιβος ὑπάρχων:
οὕτως ἀνθρώπων βλαστήματα χειροτονητὰ
Νοῦν ψυχήν τε φρένας καθαρὰς τηροῖτ᾽ ἀμόλωτον
καὶ κατὰ τάξιν ἀκήλητον φύσεως βιοτεύοι.
Ουρανόθεν μὲν ἦλθε κλέος, καὶ ἐδόθη χαρὶς ἐσθλὴ
ἡμετέροις μελετήμασι πᾶσι μελοῦσα βροτοῖσι:
ἥνπερ στηρήξειεν ἂν εὐχόμενος διά παντὸς
ὑμνήσειν πολυκυδήεντα ναίοντα ὄλυμπον,
τοῖα γὰρ δ᾽ ἐξηρημένα πνεύματι δῶρα πεσοῦνται
τύνη ὅταν χραινθῇς ἀθεμίστων αἱμυλιάων.
ὅττι κεν αἰσχύνη δ᾽ ἀρετῶν βασίλεια ἐτύχθη
ἣν ζυγὸς εὐσχήμων καὶ ἀγανόφρων πᾶσι παράσχει
τοῖς βιοτευσαμένοις γαμετῆς μέτα σωφρονεούσας.
πρὸς λιπαρὸν κόσμον πολλοῖς ἀγαγοῦσα γονεῦσι,
τῷ γε βίῳ κλέος ἐσθλὸν ἀεξομένῃ πολυπλάγκτῳ.

Δεινὰς δ᾽ ἐξείης φράζευ καὶ ἐνιθύμεο πλήγας,
ἤτοι ἀειμνήστους πρὸς παλλάκεσι τιθέντας,
ἤ κε παρόντας σφάττουσας τὸν ἀλάστορα ἄνδρα.
πόρνους γὰρ μοιχούς τ᾽ ἀκολάστους δεῖ κατακρίνειν
παμμεδέοντα ἄνακτα, θεοπρόπου ὡς ἐνὶ βίβλῳ
γράψε μέγας κῆρυξ ἐτυμόθροος Ἑρμηνευτής.
κλύζεσκον κατὰ χώραν ὅλην ζείδωρος ἄρουρα,
ἄνδρας κηρὶ ξεφθεῖς, λάγνους, στίλβοντας ἀνοίᾳ,
κτήνους νωτοφόρους, καὶ θρέμματα θηλυόεντα
κλυδόνιον ῥοιβδῆσε πολυφλύσβοιο θαλάσσης,
ἰκμάλεος τε διώχλησεν πτερόεντας οἰωνούς,
πάντα δὲ τὰ πνείονθ᾽ ὅθεν οὖν ἄγξας κατάκλυσμος.

ἤριπε

ἤριπε καὶ ξώων πολεμιστῶν, χαλκοχιτώνων
τείχεα παμφανόοντα, κατήρατ᾽ ἄναξ Ἀγαμέμνων
δώματα ὑψιρεφῆα πολυκλύτου Πριάμοιο,
τοῦ δ᾽ ῥα κακῇ αἴσῃ, διὰ πόρνην καλλιέθειραν.
ᾤχετο ἠδὲ Γόμοῤῥα ἄσωτος καὶ πολύβουτος
πρηστῆρος θειώδεος ὦκα κεκαυμένη οὖσον,
βρέξε γὰρ οὐρανόθεν ξανθὸν φλόγα τερπικέραυνος
θεῖον παφλάζον τε ὑπὲρ πόλεως ναετῆρας.
ὡσαύτως ἄρα ἡ Ζοδομ᾽ ἤριπε πυρπολέουσα
κωμόχαρις τε πολυκτήμων ἅμα ὤλετο πάμπαν
καύστονος ἀσβέστου καὶ ἀπλήστου νωμελεῆος,
ἡματίῃ νοχίῃ τ᾽ ἰοειδέα δεξαμένουσα
καπνὸν σμερδαλέον, λαγνείας πῆμα ποθεινόν.
Δαβὶδ τερπόμενος κιθάρῃ μάλα καρτερὸς ἄναξ
ὦρσεν ἀπὸ θράνους βασιλείου βέλτερος ἀνδρῶν,
πήματα λοιγία ἠδ᾽ ἐξώλεα πλεῖστα πέπονθε,
οὐ κατὰ μοῖραν Ἄρευς, αὐτὰρ διὰ μοιχικὰ λέκτρα
ὁππότε στρωμνὴν ἀσχήμων μεμίαγκ᾽ ἀμόλωτον,
τί χρὴ τῶν περ ἀπειρεσίων ἀνδρῶν καταλέξαι
φθειρομένων παρὰ τὸ ξυφᾶν τόδε ἠδυπαθῆσαι.
οἳ ῥα γάμους σεμνοὺς καταλύειν ἤδ᾽ ἐθέλοντο
ἢ κατὰ ἐκθεσμὸν νυμφήϊα λέκτρα μολώειν;
οὕνεκα τῶν μὲν ἀλιτροσυνῶν θεὸς ἄλγε᾽ ἔθηκεν
μύρι᾽ ἐπιχθονίοις, ὡς δείγματα πολλ᾽ ἀναφαίνει
κῶμος ἄρ οὐλόμενος λικακός τ᾽ ἄϊδι προΐαψεν
ἥρωας μεγαλόφρονας ἰφθίμους τε ἀγαυούς,
τεῦχέ γε τὰς ψυχὰς κακοδαίμονι ἠεροφοίτῳ
τλήμονας εἴπερ ἑλώρια τοι φθισήνορος ἅδου.
τοὔνεκα δὴ καλλιωνόμενος ἐνικάτθεσο θυμῷ
προσγαμέειν σεμνὸς, μερόπων χαριέστατε πάντων
Νικόλεως, σώφρων, ἐπιτηδέα τὸν κατὰ καιρὸν
παιδὶ συνοικίζειν ἑλικώπιδι ἐκμελετήσας.
εἰς γὰρ ἔρωτ᾽ αὐτῆς ὤλισθες μήποτε λάγνος
μηδ᾽ ὡς ἡ στρωμνὴ ῥα κατάστικτος λελόχευται
μήτε ἀσελγὴς ὤριγκεν ἢ ἐλαφρὴ γλυετυλλίς:
αὐτὰρ τοι μεγαλοσθενέος ζαθεὴν διὰ βουλὴν

ἣν θεὸς ἀσυφελίκτῳ ἑῷ σφραγίσατο θεσμῷ.
εἵνεκα καὶ πράγων πολυγήθους λυσιτελείας
πλείστων ἐρχομένων σὲ μὲν ἐγχειρίζεμεν οἶδα.
πρὸς γάμον οὖν νύμφην Ἀμμήριε λῆψον εὔωρον
Δωροθέαν πολυδαίδαλον ἡδανὸς εὖ νυ χαριστὸς,
Ἐστ᾽ Ἐμμιγγίου ἠγαθέου θυγάτηρ ἀγαπητὴ,
Ἀβνιάθι δὲ διδάσκων τὴν νημερτέα φωνὴν
θεσπεσίων ἐπέων, πάπερ οὐρανόθεν μεμάθηκε
Ανδρομέου βιότου παρ᾽ ἀοσσητῆρος Ἰησοῦ,
στηρίξαντος ἑὸν πατριάρχαις θειοδιδάκτοις
κληδόν᾽ ἀλεξητῆρα κακῶν, ἀρ᾽ ἰθώτερα κόσμου.
ὁσσατίους ἀπερευγόμενος ζαθεηγόρα ῥῆτρα
παιδεύσειεν ὁμῶς τρέψειεν ἡ εὔβοτος αἶα
Δάων καρταιῶν πολεμιστῶν ἧκεν ἐπέγνω.
εἵνεκα τοι μούσας δεδαῶτας δ᾽ ἐξανατέλλειν
τοὺς μὲν ἐπισκοπέοντας μυσιπόλους ἱερῆας,
τοὺς δ᾽ ἁγιζομένους κατ᾽ ὄργια θεῖα πολοῦντας.
ἣν διδαχὴν Ἐμμιγγιάδαο, ὁποίη ἄν εἴη
ζητήσας, λιπαρῶς τε κυλιζέμεν αὐτοβόητα
στρώματα ἀμβροσίων καλάμων, ἅπερ ἠθάδι μύθῳ
γραψάμενος μελιηδέϊ ἰδμοσύνῃ προΐαλλεν.
τοὔνεκ᾽ ἀγαλλόμενος θ᾽ Ἀμμήριε γήθεο πάντῃ
εὕρεο γὰρ πολυδαίδαλον ἄνθεσιν ἀμβροσίοισι,
μουσάων κύκλῳ κορυφῆς ἄρα ἀγχινόοιο,
κοσμηθέντα ἀγαυῶς πενθερὸν ἡλιοειδῆ.
γήθεο δ᾽ ἐμμεμαῶτα τεὸν γένος ἀμφαγαπάζειν
κηδεύειν σε συνηγόρον ἀλλά γε κυδιάνειρον,
ὃς νῦν πολλὸν ἄριστος ἐνὶ φρεσὶν εὔχεται εἶναι,
πάντα μὲν εὖ δὲ τύχοντα ῥέζειν σοι ἐκμελετήσας.
Νῦν περὶ τῆς ἀλόχοιο σεβασμίου ἕλκεσι πέπλου
εἴσω τῶν μεγάρων μιμνούσας, εἶδος ἀρίστης,
ποῖα τὰ συγγενικῶν ἀρετῶν παραδίγματ᾽ ἀείσω
φαίδιμα, τῶν τε τρόπων, βελτίστης σωφροσύνης τε;
τεκμαίρεσθαι ἔχεις ταῦτ᾽ ἐκ νεοτηλέος ἥβης
παμπήδη τὰ συναρμώσαντ᾽ Ἀμμήριε χρηστὰ.
οἴκοθι εὐσεβέος τηλαυγὴς ἐξαμαρύσσει,

Ἐμμελέως

Ἐμμελέως νῦ καλεσαμένη θεοδέγμονα οἶκον
ἠγαθέων ἐνοπῶν ἄρα ἑρμηνεύτις ἐτύχθη.
Εὐτάκτως θύραθέν τε ᾗ τι πρέπον ὁμιλέουσα,
μαλθακὰ θηλυτέρῃσιν ἐπὶ χροῒ πέπλα βαλοῦσαις
Δεῖγμα μιμήματος ἀρχετύποιο καλῶς ἀναφαίνει.
Ὥστε παρ' εὐσήμων γονέων μὲν ῥεῖα λογίζῃς
ποίας τῆς ἀρετῆς πεπύκασαι καλλιέθειρα
Νύμφη, καὶ ποίας μὲν ἐπεκτείνουσα ἀγωγῆς
Ἀκμητὴ φράζεσθαι ἔχεις ἀρετῇσι γονήων.
Παρθενικὴ ἵνα ἀνθεινὴν μεθέπουσα κορείην
Εἴη ταῖς κούρῃσιν ἐεισαμένη γλυκερῇσι
Ζηνὸς ἐριοθενέος καὶ Ἀπόλλωνος δ' ἑκάτοιο.
Δῶρον ἀεὶ ποθιδεγμένον, ἠδ' εἰργασμένον ἄρδην.
Ὡραῖον τε δέχου, ἢ ἀνάθαλπε τεοῖσιν ἐπ' ὤμοις,
Ῥεζέσκων καλὰ πάντα καὶ ἔννομα ἀρτιγαμοῦσα.
ὅρμον ἄρ' ἠλιοειδέα χρυσολόποισι λίθοισι
θάλλουσιν δροσέρως δομέναι περὶ μαζὸν ἀραιόν.
Ἔμμεναι οὐ γὰρ ἐπιχθονίων κηρὶ ξεφὲς ἔργον
Ἀλλά γε δῶρον ἐριοθενέτου θεοῦ ἀσυφέλικτον
Νυμφοκόμον, θυμῷ λαθικηδέα χαῖρα πάρασχον.
Μεμψόγαμον περὶ σύζυγον οὐ δείσειας ἐφεξῆς
Νήφουσαν μᾶλλον ἔπι χρήσιμα δέξαιο πάντα.
Ἡλικίαν ἡδεῖαν ἔσω μεγάρου δ' ἀναλώσει,
στήθεσιν εἰλικρινέεσιν ἄνευ ἔριδός τε μάχης τε.
Ἡδομένη τεῷ ἤτορι μειλιχίοις ἐπέεσσι
Νήδυμον ἐνστάξει μαλακοῖς ὕπνον βλεφάροισι.
Ἀλλά τ' ἐναλλὰξ στέρξον ὁμοῦ περικαλλέα νύμφην
Γηθόσυνος, προσπτυξάμενος μελιηδέϊ μύθῳ
Αὐτοδαὴς τηρῶν, μηδ' ἐμπέσῃ ἄνδιχα νεῖκος.
Πίστιν φρουρήσῃς ὅρκοιο γαμηλίου ἁγνός,
Ἀρπαλέως ἄρα θυμὸν ἀλεξίκακον προσενέγκειν.
Τοὔνεκα παιδαγόνος θηήσεαι υἷας ἐχέφρων
ἠέας ὄψῃ νηπιάχους ἁπαλοὺς γεγαῶτας
Νηγατέοις τοκέεσσι γάμου πρωτόσπορον ἀρχήν.
Καλλίκομος θαλέθουσα ἑοῖσιν δ' ἐν μεγάροισι
Ἄργματα θύσει ἄδην τεχνήμονι ὄργια νύμφη,

Ἀλφομένη μετέπειτα τεῆς περὶ κύκλα τραπέζης
Λεπτὰ ἔεδνα κύματος εὐκαίρως πολυπαίδου
Ἴσθμιον οὐδὲ μὲν οὖν εὑρήσεις αἰολόδωρον,
Παρθένιον μάλα δαιδάλλῃ ἁπαλόν τε τράχηλον,
Αἰνετὸν ὡς μελέδημα τρόπων δρασίων τε λόγων τε
Ῥεύματος ἐμφυέος κάζειν ἑλικώπιδα νύμφην
Ἤδεε, μηδὲ ἐπεισόδιον ἐνὶ δώμασι κόσμον
Οἴομαι εἰσάξειν πολυεύκτιον ἢ στολιδωτόν:
Νήγρετον ὡς φίλον ἦτορ, ἄωρ ποππύζοι ἀπήμων.
Ἔσται ὅταν ληφθέντα πάρος τάπερ ἔννεπε μοῦσα,
Σεμνὸς ἐπικρήνης νομίμως ἅμα πάντα σαόφρων,
Σύρματα μήδ᾽ ἀλλότρια, μὴ πολύθεσα ἀλεγύνῃς:
Εὔχεος ἐκπροφανοῦς ἔσῃ ἄξιος ἐλλογίμοιο
Ἀλφήσεις τε μέγα κλέος ἀνδρομέῳ παρὰ θυμῷ,
Ἰζάνων μετὰ γνωμονικῶν ἀνδρῶν τε σεβαστῶν.
Ἀθάνατος λοιπὸν οὐράνι᾽ ἀμφιπολεύων
Μακρόβιος χθαμαλώτατα πάντοτε νέρθερα λεύσσων
Βλάστην παιδοτόκον τ᾽ εὐήμερον εἰανὸν ἀκμήν,
Ῥίμφα μετερχομένους ἐνιαυτοὺς ἄλλον ἐπ᾽ ἄλλῳ
Οἷος ὀπάζοι: καὶ μεγακυδήεντα πρόνοιαν,
Σφῶϊν παντοτρόφοιν εὐδαιμονίοιν τε διδοίη,
Ἰδμοσύνην πολλὴν ὁμοῦ ἀμφιχέοι διανοίᾳ.
Οἱόθεν ἐκγεννησομένοις δῷ παιδαρίοισι,
Συλλήβδην τοκέεσσιν ἑοῖσιν ἄρ᾽ ἀντιπελαργεῖν,
Μείλικτόν τε γέρας προγόνοισι φίλοις ἀποδοῦναι.
Ἐξείης πολυκηδήεντα θεὸν γνωστῆρα ἁπάντων,
Ῥαντίζοντ᾽ ἀγαθῶν μερόπεσσ᾽ εἴπηθα ὀπάζειν
Οὐδεμίαν ἀπολησομένην βιότου διαγωγήν.
Ἠνίκα γὰρ πάντων Ἀμμήριε τ᾽ ἅρματα κύκλων
Ὦκά τε ἀμφιπόλευσε ποδήνεμα ἀστεροέντων
Νισσόμενος φοῖβος, καὶ λοίσθιος ἔτρεχεν ὥρη:
Τῆμος ἀνεκλείπτοισιν ὑπέρτατα δώματα ναίων
Οὐρανίοισι πορεύσειεν γλυκεροῖσι κλέεσσι
Λαμπρῶς ἄμφοιν πειθομένοιν θεοδέγμον᾽ ἐφετμῇ
Βήματι ἠμὶ προστήσει προθαμβέει ἄναξ
Ἰφθίμους φαύλους τε, ὅταν κατὰ τ᾽ ἔργα ἑκάστοις

στρεφλοῖσιν

στρεφλοῖσιν τ᾽ ἀγαθοῖς τ᾽ ἀποδώσει τήμια κρίτης.
Οὕνεκ᾽ ἀγαλλόμενος θεῷ ἀνθρώποις τε βιώσον
Ζῆς μέτα μειλιχίης, μετὰ καλλικόμοιο τε νύμφης,
Ἀλλά γε νῶϊ ἐλύσειας ὁμοῦ λαθικηδέα οἶνον
κρινάμενος προτίθου κρατῆρος χύσιν εὐραθάμιγγος.
Οἴνου, παντὶ τῷ κλητῷ θοινήτορι λαῷ.
ὑσάτιον πληρῶν ἐγκύμονας ἀμφιφορῆας
Σημαίνων τ᾽ ἄρα οἰνοχόοις θεράπεσιν ἀφύσσειν
Εἰλαπίνης ὁμίλοισι, παλιννόστοισι κυπέλλοις.
Ἴθι ἀγαλλόμενος μετέπειτ᾽ ἐπὶ γῆρας οὐδοῦ,
Ζῆς μέτα νύμφης ἀρτιχορεύτης πάντα αἰῶνα.
Δωροθέαν μνηστὴν ἀγάπα τὴν καλλιπάρηον,
Ἔσσεαι ἀμβρόσιος μερόπων τ᾽ ὄλβιστος ἀκούσεις.

Τῷ θεῷ δόξα.

